*Ζηνὸς τελέ[σσαντος κρί]σιν*
*Σάρδιες Περσᾶ̣[ν ἁλίσκοντο στρ]ατῶι,*
*Κροῖσον ὁ χˈρυσά̣[ορος*
Γ′ *φύλαξ᾽ Ἀπόλλων. [ὁ δ᾽ ἐς] ἄ̣ελπτον ἆμαρ*
*μ[ο]λὼν πολυδ[άκˈρυο]ṿ οὐκ ἔμελλε*
*μίμνειν ἔτι δ[ουλοσύ]ṇαν, πυ̣ρὰν δὲ*
*χαλ̣κ̣[ο]τειχέος π̣[ροπάροι]θεν αὐ[λᾶς*
*ναήσ̣ατ᾽, ἔνθα σὺ[ν ἀλόχωι] τε κεδˈ[νᾶι*
*σὺṿ εὐπλοκάμοι[ς τ᾽] ἐπέβαιν᾽ ἄλα̣[στον*
*θ]υ̣[γ]α̣τˈράσι δυρομέναις· χέρας δ᾽ [ἐς*
*αἰ]πὺṿ αἰθέρα σ[φ]ετέρας ἀείρα̣ς*
*γέ]γ̣[ω]νεν· ,,ὑπέρ[βι]ε δαῖμον,*
*πο]ῦ θεῶν ἐστι[ν] χάρις;*
*πο]ῦ̣ δὲ Λατοίδ[ας] ἄναξ;*
*ἔρρουσ]ị̣ν Ἀλυά[τ]τα δόμοι*
–⏑–×–⏑–×] *μυρίων*
–⏑–×–⏑–]*ν.*
Δ′ ×–⏕×⏕⏑–⏑]*ν ἄστυ,*
*ἐρεύθεται αἵματι χρυσο]δίνας*
col 8 (4) *Πακτωλός, ἀ[ε]ικελίως γυνα[ῖ]κες*
*ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·*
*τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον.“*
*τοσ᾽ εἶπε, καὶ ἁβˈ[ρο]βάταν κ[έλε]υσεν*